# ΕΥΧΗ
# ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΚΛ1 ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ ΓΕΡΜΑΝΟΝ ΤΟΝ ΕΝ ΑΛΑΣΚᾼ

## Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια

Πνευματοφόρε ἀσκητὰ καὶ ἄνερ θεοείκελε, Ἀποστόλων ὁ τρίβους ζηλώσας καὶ ὡς φῶς ἐκ Φωτὸς τοῦ ἀληθινοῦ φωτίσας Ἀλεούτων τὴν χώραν καὶ δι' αὐτῆς σύμπασαν τὴν τῆς Ἀμερικῆς ἤπειρον, Γερμανὲ πανσεβάσμιε· ὁ τῆς Ῥωσίας εὐθαλέστατος γόνος, Σεραφεὶμ τοῦ Σάρωφ ὁμότροπος καὶ Βαλαὰμ τοῦ σεμνείου οἰκῆτορ καὶ μοναστὴς ἱερώτατος· ὁ τοῦ ἐν Ὁσίοις πατράσι Ναζαρίου ὑποτακτικὸς καὶ τῆς Ἐκκλησίας Χριστοῦ ἀδάμας ὁ πολύεδρος· ὁ παιδιόθεν σύνοικος ὀφθεὶς τῆς τοῦ Θεοῦ σοφίας καὶ ἀρετῶν τῶν ψυχοτρόφων τὸ σκεῦος τῆς ἐκλογῆς τοῦ Παρακλήτου Πνεύματος καὶ τὸ εὔχρηστον κυάθιον τῆς ὑπακοῆς, τῆς ταπεινώσεως καὶ τῆς νήψεως· ὁ τῆς Ἀλάσκας πατὴρ καὶ διδάσκαλος καὶ σκεπαστὴς καὶ ἀρωγὸς καὶ πολιοῦχος· τὸ τῆς προσευχῆς ἐργαστήριον καὶ τῆς προσφορᾶς φρέαρ τὸ ἀκεσώδυνον, ὁ ἐπιμόνῳ σαρκὸς σκληραγωγίᾳ καταμαράνας πάθη τὰ χαμαίζηλα καὶ τὸν νοῦν πτερώσας πρὸς Κύριον, ὁ ἰσαγγέλως πολιτευσάμενος καὶ Ἀγγέλων δήμοις ἀξιωθεὶς συγχορεύειν ἐν τῇ ἀλήκτῳ μακαριότητι· ὁ τὸ βραβεῖον λαβὼν τῆς ἄνω κλήσεως καὶ θαυματουργικῇ ἐμπλησθεὶς χάριτι· ὁ τάχιστος ἰατρὸς τῶν νοσούντων

καὶ πάντων τῶν πιστῶς δεομένων σου προστάτης ἑτοιμότατος· ὁ τῶν προσφύγων σου πληρῶν τὰ δίκαια αἰτήματα ὡς ἀγαθός, εὐΐλατος καὶ εὐσυμπάθητος, Αὐτός, Ἅγιε τοῦ Θεοῦ, πρόσδεξαι καὶ ἡμῶν ταύτην τὴν ἱκετήριον φωνὴν καὶ ἑνὸς ἑκάστου πλήρωσον χαρᾶς καὶ ἀενάου ἀγαλλιάσεως τὰς καρδίας· ἴασαι τοὺς ἀλγεινῶς καὶ ἀνιάτως νοσοῦντας ταῖς θεοπειθέσι πρεσβείαις σου· ἴθυνον τὴν ζωὴν ἡμῶν πρὸς νομὰς σωτηρίας καὶ δόμους ἀφθαρσίας παμφώτους, ἔνθα ἀνεσπέρου ἥμαρος ἀπολαύουσιν ἐκλεκτῶν καὶ δικαίων οἱ δῆμοι· τῶν Ὀρθοδόξων τὴν μίαν, ἁγίαν, καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν κραταίωσον καὶ πάντων τῶν κοπιαζόντων διὰ τὴν ἐξάπλωσιν καὶ ἑδραιωσιν τῆς ἀληθείας ἐν τῇ τε ἡμεδαπῇ καὶ ἀλλοδαπῇ ἔσο φωστὴρ ἀπλανέστατος καὶ βάκτρον στηρίξεως ἀσάλευτον, τῇ δαψιλῶς δοθείσῃ σοι χάριτι. Ναί, Ἅγιε Γερμανέ, σημειοφόρε, διάλυσον τὰ νέφη τῆς ἀγνωσίας τοῦ κόσμου καὶ ἐφάπλωσον ἐπὶ τὸν κόσμον ἅπαντα τὸ φῶς τῆς τοῦ Θεοῦ ἐπιγνώσεως, ἵνα ἐν αὐτῷ πορευόμενοι μὴ σαλευθῶμεν, οὐδὲ προσκόψωμεν πρὸς λίθους τοὺς πόδας ἡμῶν σύγκοψον ἐκ τῶν τριβῶν ἡμῶν τάς ἀκάνθας καὶ τὰς τριβόλους τῶν παθῶν, τῆς ἐπηρείας τοῦ πονηροῦ, τῶν φαύλων καὶ ἐπωδύνων ἡμῶν συνηθειῶν καὶ πάσης θλίψεως, συνοχῆς καρδίας καὶ ὀδυνηρᾶς ἐπελθούσης ἀσθενείας τῇ ἀοράτῳ ἐπισκιάσει σου. Ἐπάκουσον οὖν τῆς δεήσεως ἡμῶν, Γερμανὲ ἀξιάγαστε, καὶ ῥῦσαι τὸν δοῦλόν σου (δεῖνα) πειρασμῶν καὶ κακώσεως, τὸν

ἀπεκδεχόμενον τὴν σὴν μεσιτείαν καὶ ἀντίληψιν, ἵνα ἐλευθέρως καὶ ὁλοθύμως καὶ φωνῇ στεντορείᾳ μακαρίζει σε ὡς ἰατρὸν τάχιστον καὶ ἀνάργυρον καὶ δοξολογεῖ τὸν ἐν Τριάδι Θεὸν ἡμῶν τὸν φιλάνθρωπον, τὸν Πατέρα, τὸν Υἱὸν καὶ τὸ Ἅγιον Πνεῦμα, τὴν ὁμοούσιον καὶ ἀδιαίρετον καὶ ὁμόθρονον νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.